τὸν τρόπον προυποτετυπώκαμεν, τῶν δὲ ἐπὶ μέρους, κατὰ τὸ τῶν γενέσε-
ων ἴδιον ὀφειλουσῶν λαμβάνεσθαι τὰς μὲν κατὰ τὸ προυποτεθειμένον πάλιν
καὶ ὁλοσχερέστερον, ἀπὸ τῶν κυριωτάτων πάλιν ἀφέσεων ποιησόμεθα, πα-
σῶν μέντοι γε οὐκ ἀπὸ μιᾶς, ὥσπερ ἐπὶ τῶν τῆς ζωῆς χρόνων, ἀλλὰ τὴν μὲν
ἀπὸ τοῦ ὡροσκόπου πρὸς τὰ σωματικὰ τῶν συμπτωμάτων καὶ τὰς ξενιτείας
τὴν δὲ ἀπὸ τοῦ κλήρου τῆς τύχης πρὸς τὰ τῆς κτήσεως, τὴν δὲ ἀπὸ τῆς ☾,
πρὸς τὰ τῆς ψυχῆς πάθη, καὶ τὰς συμβιώσεις, τὴν δὲ ἀπὸ τοῦ ☉ πρὸς τὰ κα-
τ᾽ ἀξίαν καὶ δόξαν, τὴν δ᾽ ἀπὸ τοῦ μεσουρανήματος, πρὸς τὰς λοιπὰς καὶ κατὰ μέ-
ρος τοῦ βίου διαγωγάς, οἷον, πράξεις φιλίας, τεκνοποιίας, οὕτω γὰρ ἂν ἐν τοῖς
αὐτοῖς καιροῖς, οὐχ εἷς ἔσται ἀγαθοποιὸς κύριος αὐτῶν, πολλῶν ὡς ἐπὶ τὸ
πολὺ συμβαινόντων ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐναντίων συμπτωμάτων.
ὡς ὅταν τις ἀποβαλὼν πρόσωπον οἰκεῖον, λάβῃ κληρονομίαν, ἢ νόσῳ κατα-
κλιθῇ κατὰ τὸ αὐτό, καὶ τύχῃ τινὸς ἀξίας ἢ προκοπῆς. ἢ ἐν ἀπραγίᾳ τυγ-
χάνων, τέκνων γένηται πατήρ, καὶ ὅσα τοιαῦτα συμβαίνειν εἴωθεν. οὐ γὰρ
τὸ αὐτὸ σώματος καὶ ψυχῆς καὶ κτήματος καὶ ἀξιώματος, καὶ τῶν συμβι-
ούντων ἀγαθῶν ἢ κακῶν, ὡς ἐξ ἀνάγκης ἐν ἅπασι τούτοις εὐτυχεῖν τι-
νά, ἢ πάλιν ἀτυχεῖν, ἀλλὰ συμβαίνοι μὲν ἂν ἴσως καὶ τὸ τοιοῦτον, ἐπὶ
τῶν πάνυ εὐδαιμονιζομένων, ἢ ταλανιζομένων καιρῶν, ὅταν ἐν ἁπά-
σαις ἢ ταῖς πλείσταις ἀφέσεσιν, συνδράμωσιν ὑπαντήσεις ἀγαθοποιῶν
πάντων, ἢ πάλιν κακοποιῶν. σπανίως δέ, διὰ τὸ τῆς ἀνθρωπίνης φύσε-
ως ἀτελὲς μὲν πρὸς ἑκατέραν τῶν ἀκροτάτων, εὐκατάφορον δέ, πρὸς τὴν
ἐκ τῆς ἐναλλαγῆς τῶν ἀγαθῶν καὶ κακῶν συμμετρίαν, τοὺς μὲν οὖν ἀφετι-
κοὺς τόπους, κατὰ τὸν εἰρημένον τρόπον διακρινοῦμεν, τοὺς δὲ ἐν ταῖς ἀφέ-
σεσιν ὑπαντῶντας, οὐ μόνον πάλιν τοὺς ἀναιρέτας, ὥσπερ ἐπὶ τῶν
τῆς ζωῆς χρόνων, ἀλλὰ πάντας ἁπλῶς παραληπτέον, καὶ ὁμοίως
οὐ τοὺς σωματικῶς μόνον, ἢ κατὰ διάμετρον ἢ τετράγωνον στάσιν συναν-
τῶντας, ἀλλὰ καὶ τοὺς κατὰ τρίγωνον καὶ ἑξάγωνον σχηματισμόν.
καὶ πρῶτον μὲν δοτέον τοὺς χρόνους καθ᾽ ἑκάστην ἄφεσιν, τῷ κατ᾽
αὐτῆς τῆς ἀφετικῆς μοίρας τυχόντι, ἢ συσχηματισθέντι, ἐὰν δὲ
μὴ οὕτως ἔχῃ, τῷ τὴν ἔγγιστα προήγησιν ἐπιλαβόντι, μέχρι τοῦ
τὴν ἑξῆς εἰς τὰ ἑπόμενα μοῖραν ἐπιθεωρήσαντος, εἶτα τούτῳ μέχρι τοῦ
ἑξῆς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, συμπαραλαμβανομένων εἰς τὴν οἰκοδεσποτίαν καὶ
τῶν τὰ ὅρια ἐπεχόντων ἀστέρων, δοτέον δὲ πάλιν ταῖς τῶν διαστάσεων μοί-
ραις, ἔτη κατὰ μὲν τὴν ἀπὸ τοῦ ὡροσκόπου ἄφεσιν, ἰσάριθμα τοῖς τοῦ οἰκείου κλί-